20 μεγάλη καὶ ἐκστήσει αὐτούς, [20]ὅπως θραυσθῇ ἡ καρδία καὶ πληθυν-
θῶσιν οἱ ἀσθενοῦντες ἐπὶ πᾶσαν πύλην αὐτῶν· παραδέδονται εἰς
σφάγια ῥομφαίας, εὖ γέγονεν εἰς σφαγήν, εὖ γέγονεν εἰς στίλβω-
21 σιν. [21]διαπορεύου ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ
22 πρόσωπόν σου ἐξεγείρηται. [22]καὶ ἐγὼ δὲ κροτήσω χεῖρά μου πρὸς
χεῖρά μου καὶ ἐναφήσω τὸν θυμόν μου· ἐγὼ κύριος λελάληκα. —
23 24 [23]καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [24]Καὶ σύ, υἱὲ ἀνθρώ-
που, διάταξον σεαυτῷ δύο ὁδοὺς τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως
Βαβυλῶνος· ἐκ χώρας μιᾶς ἐξελεύσονται αἱ δύο, καὶ χεὶρ ἐν ἀρχῇ
25 ὁδοῦ πόλεως· ἐπ᾿ ἀρχῆς [25]ὁδοῦ διατάξεις τοῦ εἰσελθεῖν ῥομφαίαν
ἐπὶ Ραββαθ υἱῶν Αμμων καὶ ἐπὶ τὴν Ιουδαίαν καὶ ἐπὶ Ιερουσαλημ
26 ἐν μέσῳ αὐτῆς. [26]διότι στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρ-
χαίαν ὁδὸν ἐπ᾿ ἀρχῆς τῶν δύο ὁδῶν τοῦ μαντεύσασθαι μαντείαν,
τοῦ ἀναβράσαι ῥάβδον καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς καὶ ἡπα-
27 τοσκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ. [27]ἐγένετο τὸ μαντεῖον ἐπὶ Ιερου-
σαλημ τοῦ βαλεῖν χάρακα, τοῦ διανοῖξαι στόμα ἐν βοῇ, ὑψῶσαι
φωνὴν μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ἐπὶ τὰς πύλας αὐτῆς καὶ
28 βαλεῖν χῶμα καὶ οἰκοδομῆσαι βελοστάσεις. [28]καὶ αὐτὸς αὐτοῖς ὡς
μαντευόμενος μαντείαν ἐνώπιον αὐτῶν, καὶ αὐτὸς ἀναμιμνῄσκων
29 ἀδικίας αὐτοῦ μνησθῆναι. [29]διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ᾿ ὧν
ἀνεμνήσατε τὰς ἀδικίας ὑμῶν ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας
ὑμῶν τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν ἐν πάσαις ταῖς ἀσεβείαις ὑμῶν
καὶ ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν, ἀνθ᾿ ὧν ἀνεμνήσατε, ἐν τούτοις
30 ἁλώσεσθε. [30]καὶ σύ, βέβηλε ἄνομε ἀφηγούμενε τοῦ Ισραηλ, οὗ
31 ἥκει ἡ ἡμέρα, ἐν καιρῷ ἀδικίας πέρας, [31]τάδε λέγει κύριος Ἀφεί-
λου τὴν κίδαριν καὶ ἐπέθου τὸν στέφανον· αὕτη οὐ τοιαύτη ἔσται·
32 ἐταπείνωσας τὸ ὑψηλὸν καὶ τὸ ταπεινὸν ὕψωσας. [32]ἀδικίαν ἀδικίαν
θήσομαι αὐτήν, οὐδ᾿ αὕτη τοιαύτη ἔσται, ἕως οὗ ἔλθῃ ᾧ καθήκει,
33 καὶ παραδώσω αὐτῷ. — [33]καὶ σύ, υἱὲ ἀνθρώπου, προφήτευσον
καὶ ἐρεῖς Τάδε λέγει κύριος πρὸς τοὺς υἱοὺς Αμμων καὶ πρὸς τὸν
ὀνειδισμὸν αὐτῶν καὶ ἐρεῖς Ῥομφαία ῥομφαία ἐσπασμένη εἰς σφά-
34 για καὶ ἐσπασμένη εἰς συντέλειαν, ἐγείρου ὅπως στίλβῃς [34]ἐν τῇ
ὁράσει σου τῇ ματαίᾳ καὶ ἐν τῷ μαντεύεσθαί σε ψευδῆ τοῦ παρα-

19 εκστησει] + ς Bpl. || 20 οπως] + μη B† | θραυσθησεται A | η] πασα A | αυτων > B† | παραδεδ.] και παραδοθησονται A(†) || 22 τον > B | μου ult.] + εν σοι A† | ελαλησα A† || 24 αι] αρχαι A | χειρ B†] χειρα ετοιμασουσιν uel sim. rel. (ετοιμ. in *O* sub ※) | εν αρχη] επι αρχης A(†) || 25 υιων] pr. και επι A(†) || 26 ραβδον] -δια A(†) || 27 του 2⁰] pr. και A || 28 αυτου] -των A || 29 κυριος B†] + κυριος ο θεος A: item in 31, cf. 33 146 || 30 βεβηλε ανομε] tr. B† || 31 κυριος: cf. 29 | το ταπεινον / υψωσας] tr. Bpl. || 32 αδικιαν αδικιαν] + αδικιαν B* (in *O* sub ※) | ουδ αυτη] ουαι αυτη B†, ου A† || 33 κυριος B†] + ο θεος A(†): cf. 29 | ρομφαια ult.] + ετοιμαζου A | εις paenult. > A†